πουσι δ' ἐν τῇ ἀρχῇ φύλλα 24. Τὰ δ' ἐν αὐτῷ *Κοντάκια* καὶ οἱ *Οἶκοι* ἄρχονται ἀπὸ τοῦ *σαββάτου τῆς Τυροφάγου* ἄχρι *τῆς κυριακῆς τῆς Πεντηκοστῆς*.

## ΣΤΟΙΧΕΙΟΝ Σ.

### ΣΙΔ'.

#### ΣΕΙΡΑ ΠΑΤΕΡΩΝ

Τὸ μὲν τεῦχός ἐστι γεγραμμένον ἐν φύλλῳ περὶ τὴν ΙΑ' ἑκατονταετηρίδα καὶ περιέχει *Σειρὰν τῶν Πατέρων εἰς τὸν Προφήτην Ἡσαΐαν*, ἀλλ' εἰς μόνα τὰ Ιϛ' αὐτοῦ κεφάλαια. Οἱ δὲ ὑπομνηματισταί εἰσιν οὗτοι: *Ἀθανάσιος. Βασίλειος. Γρηγόριος Θεολόγος. Γρηγόριος Νύσσης. Διονύσιος. Εὐσέβιος Καισαρείας. Θεοδώρητος. Θεόδωρος Ἡρακλείας. Ἰσίδωρος Πηλουσιώτης. Κύριλλος. Μάξιμος. Σευῆρος. Σευηριανὸς Γαβάλων. Χρυσόστομος.* Σύγκειται δὲ ἐκ φύλλων 359 καί ἐστιν ἐν μέρει κεκολοβωμένον· λείπει γὰρ ὅλον τὸ τρίτον τετράδιον αὐτοῦ, ἤτοι φύλλα 8, καὶ ἐκ τοῦ πέμπτου φύλλα 6.

### ΣΙΕ'.

#### ΟΜΟΙΟΝ

Καὶ τοῦτο τὸ τεῦχός ἐστιν ἐν φύλλῳ, περὶ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, καὶ περιέχει *Σειρὰν τῶν Πατέρων εἰς τοὺς Ψαλμούς*, ἀρχομένην ἐκ τοῦ τέλους τοῦ ΟΗ' Ψαλμοῦ (κεκολόβωται γὰρ ἐν ἀρχῇ), καὶ λήγουσαν εἰς τὸν ΡΝ'. Ἦν δ', ὡς ἔοικε, συνέχεια ἄλλου ἐκλελοιπότος τεύχους. Οἱ ἑρμηνευταί εἰσιν: *Ἀθανάσιος. Ἀπολλινάριος. Βασίλειος. Δίδυμος. Διόδωρος. Εὐσέβιος. Θεοδώρητος. Ἡσύχιος. Ἰωάννης* [*Χρυσόστομος*] καὶ *Ὠριγένης.* Σύγκειται δὲ ἐκ 356 φύλλων.

### ΣΙϚ'.

#### ΟΜΟΙΟΝ

Τὸ μὲν τεῦχός ἐστιν ἐν φύλλῳ, ἡ δὲ γραφὴ τῆς ΙΑ' ἑκατονταετηρίδος, ἔργον καλλιγράφου μέν, ἀλλ' οὐκ εὐπαιδεύτου. Περιέχει δὲ *Σειρὰν τῶν Πατέρων εἰς τὴν Πεντάτευχον.* Καὶ τὸ μὲν κείμενον κατὰ μέσον γέγραπται τοῦ φύλλου, πέριξ δὲ τὰ ὑπομνήματα. Εἰσὶ δ' οἱ ὑπομνηματισταὶ οὗτοι: *Ἀκάκιος Καισαρείας. Ἄλλος. Ἀπολλινάριος. Ἀνεπίγραφος. Βασίλειος. Βίκτωρ Πρεσβύτερος. Γεννάδιος. Γρηγόριος Θεολόγος. Γρηγόριος Νύσσης. Διόδωρος. Δίδυμος. Διονύσιος. Εὐσέβιος. Ἐφραίμ. Εὐστάθιος Ἀντιοχείας. Ἐπιφάνιος Κύπρου· Εἰρηναῖος. Εἰρήναρχος. Θεοδώρητος. Θεόδωρος. Θεόφιλος Ἀλεξανδρείας. Ἱππόλυτος. Ἰσίδωρος. Ἰουστῖνος. Ἰώσηπος. Κύριλλος Ἀλεξανδρείας. Κλήμης. Μελίτων. Νεῖλος Μοναχός. Ἐκ τῆς Παραρέτου. Σευῆρος Γαβάλων. Σευηριανός. Σεραπίων. Φίλων Ἐπίσκοπος. Φίλων Ἑβραῖος. Χρυσόστομος καὶ Ὠριγένης.* Σύγκειται δὲ ἐκ 308 φύλλων, ὧν ἐν τῷ τελευταίῳ σεσημείωται ὑπὸ τοῦ ἀντιγραφέως: «*Τέλος τῶν πέντε βιβλίων τοῦ Μωϋσέως, ἤτοι Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοὶ καὶ Δευτερονόμιον*».

### ΣΙΖ'.

#### ΟΜΟΙΟΝ

Γέγραπται τόδε τὸ τεῦχος ἐν φύλλῳ περὶ τὴν ΙΑ' ἑκατονταετηρίδα καὶ περιέχει *Σειρὰν τῶν Πατέρων εἰς τὴν Ὀκτάτευχον*, οὐ μέντοι πλῆρές ἐστι· λίαν γὰρ κεκολόβωται ἡ ἀρχὴ